# † Τῇ Κυριακῇ τῶν Βαΐων.

Κατὰ τὴν ιη΄ τοῦ Μαρτίου, ἐν ἡμέρᾳ Κυριακῇ, πέντε ἡμέρας πρὸ τοῦ νομικοῦ πάσχα, ἐρχόμενος ὁ Ἰησοῦς ἀπὸ τῆς Βηθανίας εἰς Ἱεροσόλυμα, ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ καὶ ἔφερον πρὸς αὐτὸν ὀνάριον, καὶ καθίσας ἐπ' αὐτοῦ εἰσήρχετο εἰς τὴν πόλιν. Τὸ δὲ ἐν αὐτῇ πλῆθος τοῦ λαοῦ, ἀκούσαντες ὅτι ὁ Ἰησοῦς ἔρχεται, λαβόντες εὐθὺς εἰς τὰς χεῖρας αὐτῶν βαΐα τῶν φοινίκων ἐξῆλθον εἰς ὑπάντησιν αὐτοῦ· καὶ ἄλλοι μὲν διὰ τῶν ἑαυτῶν ἱματίων, ἄλλοι δὲ κόπτοντες κλάδους ἀπὸ τῶν δένδρων, ἐστρώννυον τὴν ὁδόν, δι' ἧς ὁ Ἰησοῦς ἔμελλε διέρχεσθαι· καὶ πάντες ὁμοῦ, καὶ αὐτὰ ἔτι τὰ νήπια, προπορευόμενοι καὶ ἀκολουθοῦντες, ἔκραζον λέγοντες· Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ βασιλεὺς τοῦ Ἰσραήλ· (Ἰωάν. ιβ΄). Καὶ ταύτην μὲν τὴν λαμπρὰν καὶ ἔνδοξον πανήγυριν τῆς εἰς Ἱερουσαλὴμ εἰσόδου τοῦ Κυρίου ἡμῶν ἑορτάζομεν σήμερον.




Ἐσήμαινον δὲ τὰ μὲν βαΐα, τουτέστιν οἱ ἁπαλοὶ τῶν φοινίκων κλάδοι, τὴν κατὰ τοῦ διαβόλου καὶ τοῦ θανάτου νίκην τοῦ Χριστοῦ. Τὸ δὲ Ὡσαννὰ ἑρμηνεύεται σῶσον παρακαλῶ, ἤ, σῶσον δή. Τὸ δὲ πωλάριον τοῦ ὄνου, καὶ τὸ κάθισμα τοῦ Ἰησοῦ ἐπ' αὐτοῦ, ζῴου ἀδαμάστου ἔτι καὶ κατὰ τὸν νόμον ἀκαθάρτου, ἐσήμαινε τὴν πρώτην ἀκαθαρσίαν καὶ ἀγριότητα τῶν ἐθνῶν, καὶ τὴν μετὰ ταῦτα ὑποταγὴν αὐτῶν εἰς τὸν ἅγιον τοῦ Εὐαγγελίου νόμον.

## Ἀπολυτίκιον. Ἦχος α΄.

Τὴν κοινὴν Ἀνάστασιν... (ὡς ἀνωτέρω [δίς]).

## Ἕτερον. Ἦχος δ΄.

Συνταφέντες σοι διὰ τοῦ Βαπτίσματος, Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν τῇ Ἀναστάσει σου, καὶ ἀνυμνοῦντες κράζομεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου (ἅπαξ).

## Ἀπὸ γ΄ Ὠδῆς, ἡ Ὑπακοή, Ἦχος πλ. β΄.

Μετὰ κλάδων ὑμνήσαντες πρότερον, μετὰ ξύλων συνέλαβον ὕστερον, οἱ ἀγνώμονες Χριστόν, Ἰουδαῖοι τὸν Θεόν· ἡμεῖς δὲ πίστει ἀμεταθέτῳ, ἀεὶ τιμῶντες ὡς εὐεργέτην, διὰ παντὸς βοήσωμεν αὐτῷ· Εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

## Κοντάκιον. Ἦχος πλ. β΄. Αὐτόμελον.

Τῷ θρόνῳ ἐν οὐρανῷ, τῷ πώλῳ ἐπὶ τῆς γῆς, ἐποχούμενος Χριστὲ ὁ Θεός, τῶν Ἀγγέλων τὴν αἴνεσιν, καὶ τῶν Παίδων ἀνύμνησιν προσεδέξω βοώντων σοι· Εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.